X. Talem habent divitiæ felicitatem, a spectatoribus et testibus pendentem, quibus omnibus tanquam ad pompam adornatus ostentare se opus habet dives: alioquin ea felicitas nulla est. Non ita temperantia, philosophia, deorum recta notitia: nam hæc ut omnes homines lateant, in animo suum habent proprium splendorem, suam lucem magnam: animusque bonum summum amplectens gaudium sibi contubernale adsciscit: sive videatur virtus, sive sit diis hominibusque ignota. Talis res est virtus, veritas mathematum, pulchritudo rerum geometricarum et astrologicarum: cui indignum est istas divitiarum phaleras, et bullas ac puellaria spectacula comparari. Quippe hæc si nemo videat, nemo spectet, vere cæcæ fiunt

ἀφεγγὴς ὁ πλοῦτος. Μόνος γὰρ ὁ πλούσιος δειπνῶν μετὰ τῆς γυναικὸς ἢ τῶν σωμήπων, ὅτε ταῖς σιβινίαις παρ-
B ἔχει θεάγματα τραπέζας, ὅτε τοῖς χρυσοῖς ἐκπώμασιν, ἀλλὰ χρῆται τοῖς παρεστυχόσι· καὶ ἡ γυνὴ ἄχρυσος καὶ ἀπόρφυρος καὶ ἀφελὴς πάρεστιν. Ὅταν δὲ σύνδειπνον, τότε τὸ μπὴ καὶ δέατρον, συγκροτῆται, καὶ δρᾶμα πλουσιακὸν εἰσάγηται, νηῶν δ' ἔκφερε λέβητάς τε τρίποδάς τε τῶν τε λύχνων ἔχονται, καὶ περιαιῶνται περὶ τὰς κύλικας, ἀλλάσσουσι τοὺς οἰνοχόους, μεταμφιεπύουσι πάντα, πάντα κινοῦσι, χρυσὸν, ἄργυρον λιθακάλλιτον, ἁπλῶς πλουτεῖν ὁμολογοῦντες. Ἀλλὰ εὐφροσύνης γε, κἂν μόνος δειπνῇ, δεῖται καὶ εὐωχίας.

B. 4. συγκροτῆται] Sic D. Vulgo, συγκεκρότηται.
B. 9. εὐφροσύνης] Item ex D. et varia lectione C. Vulgo, σωφροσύνης.

et obſcuræ divitiæ. Nam ſi ſolus aut cum familiaribus cœnat dives, non ille magnificis menſis aut aureis poculis negotium faceſſit, ſed quibuſvis utitur, mulierque ei ſine auro et purpura habitu ſimplici adeſt: ubi vero convivium, hoc eſt pompa et ſpectaculum, paratur, et fabula divitiarum agitur, ibi demum

*Navibus exportant tripodas ſimul atque lebetas,*

tum lychni curantur, tum occupantur circa calices, mutant pincernas, omnia veſtiunt, omne aurum, omne argentum, omnia gemmata promunt, ſimplices divitias ſuas profitentes. At vero temperantia diviti et animi hilaritate opus eſt, etiam ſi ſolus cœnet.

# ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

# ΔΥΣΩΠΙΑΣ.

c

# ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

# ΔΥΣΩΠΙΑΣ.

# PLUTARCHI

DE

# VITIOSO PUDORE.

α'. ΕΝΙΑ τῶν ἐκ τῆς γῆς φυομένων, αὐτὰ μὲν ἐστιν ἄγρια τῇ φύσει καὶ ἄκαρπα καὶ βλαβερὰν
D τοῖς ἡμέροις σπέρμασι καὶ φυτοῖς τὴν αὔξησιν ἔχοντα, σημεῖα δὲ αὐτὰ ποιεῖται χώρας οἱ γεωργοῦντες οὐ πονηρᾶς ἀλλὰ γενναίας καὶ πίονος· ὕτω δὴ καὶ πάθη ψυχῆς ἐστιν ἃ χρηστὰ, χρηστῆς δὲ φύσεως οἷον ἐξανθήματα, καὶ

I. QUÆDAM eorum quæ e terra enaſcuntur, cum ſint ipſa per ſe ſylveſtria, ſterilia, et incremento ſuo noceant hortenſibus ſeminibus atque ſtirpibus, agricolæ tamen pro certo indicio ſoli non mali, ſed egregii atque pinguis, habent. Eodem modo animi etiam quædam ſunt affectiones non bonæ, ſed quaſi germina e bo-

λόγῳ προσαρχεῖν ἐργάσιμον ἑαυτῷ ὁπωσοῦν δυναμένης. Ἐν τούτοις πίθηκος καὶ τὴν λεγομένην Δυσωπίαν, σημεῖον μὲν ὑ φαῦλον, αἰτίαν δὲ μοχθηρίας ὄσαν. Τὰ γὰρ αὐτὰ τοῖς ἀναισχύντοις οἱ αἰσχυνόμενοι πολλάκις ἁμαρτάνουσι· πλὴν ὅτι τὸ λυπεῖσθαι καὶ ἀλγεῖν ἐφ' οἷς ἁμαρτάνουσι, τούτοις προσέστιν, οὐχ ὡς ἐκείνοις τὸ ἥδεσθαι. Ἀναλγὴς μὲν γὰρ ὁ ἀναιδὴς πρὸς τὸ αἰσχρόν· εὐπαθὴς δὲ καὶ πρὸς τὸ φαινόμενον αἰσχρὸν ὁ εὐδυσώπητος. Ὑπερβολὴ γὰρ τοῦ αἰσχύνεσθαι, τὸ δυσωπεῖσθαι· διὸ καὶ ὥσπερ κέλλησι, τρόπον τινὰ τοῦ προσώπου τὴν ψυχὴν συναλαπομένου καὶ συνεξατονοῦντος. Ὡς γὰρ τὴν Καλλίφειαν ὁρίζονται λύπην κάτω βλέπειν ποιοῦσαν, οὕτω τὴν αἰσχυντηλίαν μέχρι τοῦ μηδὲ ἀντιβλέπειν τοῖς δεομένοις ἐπαίρουσαν, Δυσωπίαν ὠνόμασαν. Ὅθεν ὁ μὲν ῥήτωρ τὸν ἀναίσχυντον οὐκ ἔφη κόρας ἐν τοῖς ὄμμασιν ἔχειν, ἀλλὰ πόρνας· ὁ δ' εὐδυσώπητος αὖ πάλιν, ἄγαν τὸ θῆλυ τῆς ψυχῆς καὶ

no pullulantia ingenio, et quod culturæ ſe ſatis exhibiturum ſit tractabile. In his etiam Vitioſum cenſeo Pudorem: qui ut ſignum eſt non malum, ita cauſam pravitati præbet. Etenim ſæpenumero in eadem cum impudentibus peccata incidunt verecundi: niſi quod his ſua errata dolorem incutiunt, non, ut illis, voluptatem afferunt; nullo enim ob turpitudinem dolore impudens afficitur: in quem facile etiam ſpecie tantum turpitudinis oblata prolabitur is qui inepte verecundus eſt. Hoc vitii *Dyſopiam* Græci dixerunt, in quo pudoris modus exceditur: quod vultus quodammodo cum anima dejiciatur. Sicut enim *Katopheiam* (hoc eſt mœſtitiam) vocant dolorem oculos in terram dejicientem: ſic verecundiam, præ qua intueri in alios non audemus, *Dyſopiam* dixerunt. Orator quidem impudentem oculis non *koras*, (quæ vox et virgines ſignificat, et luminum pupillas) ſed meretrices habere pronunciavit. At qui ad nimium propenſus eſt pudorem, animum nimis effe-

τερφθεὶν ἐμφάνει ἀφ' ἧς ὄψεως, τὴν ἐπὶ τοῖς ἀναισχύντοις ἧπιαν, ἀρχύνην ἐπισκοριζόμενος. Ὁ μὲν οὖν Κάτων ἔλεγε τοὺς νέους μᾶλλον ἀγαπᾶν τοὺς ἐρυθριῶντας, ἢ τοὺς ὠχριῶντας· ὀρθῶς ἐδίζων καὶ διδάσκων, τὸν φόβον μᾶλλον ἢ τὸν ἔλεγχον δεδιέναι, καὶ τὴν ἐπωφίαν μᾶλλον ἢ τὸν κίνδυνον. Οὐ μὴν ἀλλὰ καὶ τῆς πρὸς τὸν 129 φόβον ἐπόπτης καὶ φοροδέκτης τὸ ἄγαν ἀφαιρετέον· ὡς οὐχ ἧττον ἔνιοι πολλάκις ἀκόσμως καὶ κακῶς ἢ παθεῖν δείσαντες, ἀπεθαλίασαν, καὶ προήκαντο τὸ καλὸν, οὐ δυνηθέντες ἐπομεῖναι τὸ ἄδοξον.

β. Οὔτε δὴ τούτους παρεισπέον ὅπως ἀσθενῶς ἔχοντας, ἔτ' αὖ πάλιν ἐκείνην ἐπαινετέον τὴν ἄτρεπτον καὶ ἀτενῆ ἀφθησιν,

Ἐν δὲ τὸ θαρσαλέον τε καὶ ἐμμενὲς ὅππη ὀρῶσαι
Φαίνετ' Ἀναξάρχη κύνεον μένος.

ἀλλ' ἐμμελῆ τινα μηχανητέον σύγκρασιν ἀμφοῖν, τοῦ μὲν ἀτενοῦς ἄγαν τὴν ἀναίδειαν, τοῦ δὲ ὀπτευτοῦς σφόδρα τὴν

F. 6. Δεγχη] Forte corrigendum φύσιν, quod res et ſententiæ uſus poſtulat. Huc ducit varietas lectionis C. Moſc. 2. Colleg. Nov. qui habent ἰσχνὸν.

minatum ac delicatum ipſo prodit viſu, verecundiæ honeſto nomine prætexens mollitiem ſuam, qua impudentibus ſuccumbit. Sane Cato dicebat adoleſcentes ſe eos magis probare qui erubeſcerent quam qui palleſcerent: recte condocefaciens probrum magis quam laborem timere, et ſuſpicionem, quam periculum. Veruntamen et nimius vituperationis metus, ac ad quemvis ſtrepitum trepidatio, coërceri debet; quando ſæpe non minore male audiendi, quam mala patiendi metu ducti, honeſtatem prodiderunt nonnulli ob impatientiam infamiæ.

II. Ergo neque horum negligenda eſt imbecillitas: et nequaquam laudanda animi pertinax illa et rigida affectio,

*Qualis Anaxarchi vis, quo ſe cumque canina*
*Verteret indomita, et pertendens prorſus, et audax.*

ſed concinna quædam utrinque temperanda eſt ratio, quæ et nimiæ pertinaciæ impudentiam, et modum excedenti le-

ἀαθένειαν, ἀφαιροῦσαν. Ἡ, καὶ τὸ θεράπαινα δυσχερές, καὶ οὐκ ἀκίνδυνος ἡ περὶ τοιούτων πλεονασμῶν κώλυσις. Ὡς γὰρ ὁ γεωργὸς ἄγριον μὲν ἐκκόπτων βλάστημα καὶ ἀγενὲς, αὐτόθεν ἀφειδῶς ἐμβαλὼν τὸ σκαφεῖον, ἀνέτρεψε τὴν ῥίζαν, ἢ πῦρ προσαγαγὼν ἐπέκαυσεν· ἀμπέλῳ δὲ προσιὼν τομῆς δεομένῃ, καὶ μιλέας ἢ τινος ἐλαίας ἀπόμβνος, εὐλαβῶς ὑπιφέρει τὴν χεῖρα, δεδιὼς μή τι τῆς ὑγιαίνοντος ἀποτυφλώσῃ· οὕτως ὁ φιλόσοφος, φθόνον μὲν ἐξαιρῶν νέᾳ ψυχῇ, ἀγεννὲς βλάστημα καὶ δυσπάλαστον, ἢ φιλαργυρίαν ἄωρον, ἢ φιληδονίαν ὀπτικόπαιον ἀκόλαστον, αἱμάσσει καὶ πιέζει, καὶ τομεῖ ποιεῖ καὶ ὑλεῖ βαθεῖαν· ὅταν δὲ τρυφερῷ μέρει ψυχῆς καὶ ἁπαλῷ κολούοντα προσαγάγῃ λόγον, οἷόν ἐστι τὸ δυσωπούμενον καὶ αἰσχυνόμενον, εὐλαβεῖται μὴ λάθῃ τούτοις συναποκόψας τὸ ἀιδούμενον. Καὶ γὰρ αἱ τίτθαι τῶν βρεφῶν ἐκτίλουσαι πολλάκις τὸν ῥύπον, ἐλκοῦσιν ἐνίοτε τὴν σάρκα καὶ βασανίζουσιν. Ὅθεν

A. 12. Ἡ,] Revocavi ex Ald. Baſ. Xyl. C. D. Schott. Anon. Mez. Vulgo ἢ.
B. 1. κώλυσις] κόλασις Mez. Salmaſ. Reiſk. corrector C. Nec male Matth. κόλασις. Utrumque vulgato melius: neutrum recipere auſus ſum.

nitati imbecillitatem, auferat. Itaque correctio difficilis eſt, neque periculo vacat hujuſmodi exceſſuum coërcitio. Sicut enim colonus ſylveſtrem plantam et inutilem exſcindens, ligone viribus adacto nihil parcens radicitus etiam proruit, aut igne adhibito cremat: ad vitem autem, malum, vel oleam putandi gratia accedens, caute manum admovet, metuens ne quid utile lædat: ſic philoſophus ex animo adoleſcentis invidiam tollens degener germen et intractabile, aut avaritiam intempeſtivam, aut ſtudium voluptatis intemperans, ſauciat, premit, vulnus alte adigit, cicatricemque ducit magnam: quando autem delicatæ ac teneræ parti animæ orationem correctricem applicat, qualis eſt quæ nimio pudore ſubvertitur, ſummo ſtudio cavet, ne imprudens ſimul cum vitio verecundiam ejiciat. Nam nutrices etiam puerorum ſordes dum detergunt, interdum carnem ſauciant atque adfligunt. Itaque oportet adoleſ-

εὐ δεῖ τῶν νέων παντάπασιν ὁ χρῶ τὴν Δυσωπίαν ἐκτρίβοντας, ὀλιγώρους ποιεῖν καὶ λίαν ἀτρέπτους. Ἀλλ' ὥσπερ οἱ καταλύοντες οἰκίας ἱερᾶς γειτνιώσας, τὰ γε συνεχῆ καὶ πλησίον ἐῶσι καὶ διερείδυσιν· ὕπω δεῖ τὴν Δυσωπίαν κινεῖν, δεδιότας, συνεφελκύσασθαι τὰ ὁμορροῦντα τῆς αἰδοῦς καὶ τῆς ὑποπτείας καὶ τῆς ἡμερότητος, οἷς ἐπιδέδυκε καὶ περιπέπλεκται κολακεύουσα τὸ εὐδιάπτωτον, ὡς φιλάνθρωπον καὶ πολιτικὸν καὶ κοινὸν ἔχοντα νοῦν, καὶ οὐκ ἄτεγκτον οὐδὲ αὐθέκαστον. Ὅθεν εὐθὺς οἱ Στωϊκοὶ καὶ τῷ ῥήματι τὸ αἰσχύνεσθαι καὶ δυσωπεῖσθαι τοῦ αἰδεῖσθαι διέστησαν, ἵνα μηδὲ τιὼ ὁμωνυμίαν τῷ πάθει περίφασιν τοῦ βλάπτειν ἀπολίπωσιν. Ἀλλ' ἡμῖν χρῆσθαι τοῖς ὀνόμασιν ἀσυκοφαντήτως δότωσαν, μᾶλλον δὲ Ὁμηρικῶς· καὶ γὰρ ἐκεῖνος εἶπεν,

Αἰδὼς μὲν τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι·

καὶ οὐ κακῶς τὸ βλάπτειν αὐτῆς περίεργον εἶπε· γίνεται

centibus non ita penitus Vitiosum Pudorem eximere, ut securi fiant nimisque inverecundi. Sed sicut qui domos demoliuntur templis vicinas, ii saltem continuas his partes sinunt atque suffulciunt: sic nimius Pudor subruendus est, ut tamen caveamus ne simul cum eo confinia verecundiæ, æquanimitatis, et mansuetudinis ejiciantur: quibus rebus se insinuat ille in animum ad hoc vitii propensum, eumque occupat, dum sibi is humanus, civilis, communi sensu præditus, non durus aut obstinatus videtur. Itaque jam inde a principio Stoici ipsis verbis pudorem a verecundia distinxerunt, ne ambiguitas vocabuli occasionem vitii habens relinqueretur. Ii tamen nobis hoc relinquant, ut vocabulis citra calumniam utamur, atque adeo Homeri imitatione. Is enim dicit,

*Sæpe verecundis sua fert affectio damnum*
*Grande, verecundis sua sæpe affectio prædit:*

et non male priore loco eam dixit nocere: utilis enim ra-

γὰρ ὠφέλιμος ὑπὸ τῦ λόγυ τὸ πλεονάζον ἀφελόντος, ᾗ τὸ μέτριον ἀπολιπόντος.

γ'. Πρῶτον οὖν δεῖ τῦτο πείθεσθ' τ ὑπὸ πολλῆς Δυσωπίας βιαζόμενον, ὅτι πάθ ἁβρερῷ συνέχε). Καλὸν δὲ τῶν βλαβερῶν οὐδὲν, οὐδὲ δεῖ τοῖς ἐπαίνοις κηλούμενον ἥδεσθ, κομψὸν ᾗ ἱλαρὸν ἀντὶ σεμνῦ ᾗ μεγάλου καὶ δικαίυ προσαγορευόμενον, μηδ' ὥσπερ ὁ Εὐριπίδυ Πήγασος

Ἔπτησ' ὑπείκων μᾶλλον ἢ θέλοι

τῷ Βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν ἐκδιδόναι ᾗ συνεκπεσεῖν, φοβούμενον ἀκοῦσαι τὸ, σκληρός γε ᾗ ἀπηνής. Τῷ μὲ γὰ Αἰγυπτίῳ Βοκχόριδι φύσ χαλεπῷ γενομένῳ τ ἀσπίδα λέγουσιν ὑπὸ τ Ἶσιδος ὑπερεμφεῖσαν, ᾗ τῇ κεφαλῇ προελιχθεῖσαν, ἄνωθεν ὑποσκιάζειν ἵνα κρίνῃ δικάσως· ἡ δὲ σι Δυσωπία τοῖς ἀτόνοις καὶ ἀνάνδροις ὑπεκειμένη, ᾗ προς μηδὲν ἀναπεῦσαι μηδὲ ἀντειπεῖν ἰσχύσασα, καὶ δικάζοντας ἀπορρέπει τῦ δικάσ, καὶ συμβυλεύοντας, ὑποσμίζει, καὶ λέγειν πολλὰ καὶ προφέρειν ἀναγκά-

tione demum fit Verecundia, quæ ſublato exceſſu mediocritatem relinquit.

III. Primo omnium perſuaſum eſſe debet ei quem nimius Pudor urget, affectu ſe damnoſo teneri. Nihil autem eorum quæ damnoſa ſunt, pulchrum eſt: neque debet laudibus delinitus gaudere, ubi comis et hilaris loco gravis, magnanimi, et juſti dicitur: neque ſicut Euripideus Pegaſus,

*Pavens, magis quam vellet ille, ſubdidit*

ſe Bellerophonti, ita ipſe iis qui volunt ſe dedere ac ſubmittere, metuentem ne durus et immitis audiat. Ægyptio Bocchoridi, homini ingenio intractabili ferunt ab Iſide aſpidem miſſam, quæ ſuperne capiti circumvoluta obumbraret, ut judicaret juſte. At Pudor Vitioſus languidis et mollibus incumbens, et nihil renuere, nihil dicendo refellere ſinens, cum diſceptatores a juſte dicenda ſententia abigit, tum conſulentium ora occludit, multaque cogit præ-

130 ζει τὴν ἀβελτέρων· ὁ δὲ ἀγνωμονέστατος ἀεὶ τῷ τοιούτῳ
δεσπότης ὑπὸ τῆς κρατεῖ, τῷ μὴ αἰδεῖσθαι, τὸ αἰδούμενον
ἐκβιαζόμενος. Ὅθεν, ὥσπερ χαρίεν ὕπνιον καὶ μαλακὸν, ἡ
Δυσωπία μηδεμίαν ἔντευξιν ἐξώσαι μηδὲ ἀποστρέψαι δυ-
ναμένη, τοῖς ἀρχίοις βάσεσιν ὑπὸ τῶν ἁμαρτημάτων καὶ πάθεσι.
Κακὴ μὲν γὰρ αὕτη παιδαγωγὸς ἡλικίας, ὡς ἔλεγε
Βροῦτος, οὐ δοκεῖν αὐτῷ καλῶς ἄνθος ἀφανθεῖσθαι τὸν
τῶν μηδὲν ἀρνούμενον· κακὴ δὲ θαλάμου καὶ γυναικωνίτι-
δος ἐπίτροπος, ὡς φησιν ἡ τῶν τῷ Σοφοκλεῖ μετα-
νοῦσα τῶν τὸν μοιχόν,

Ἔπεισας, ἐξέθωψας.——

B ὧδ' ἡ Δυσωπία τῶν ἁμαρτημάτων τὸ ἀκόλαστον, ἀνέῳ-
γμενα πάντα καὶ ἄκλειστα καὶ κατάντη τῶν δίδωσι τοῖς
ἐπιτηδεύμασι. Καὶ διδόντες μὲν αἰσχύνουσι τὰς βδελυρωτά-
τας τῆς φύσεως· τῷ δὲ πείθειν καὶ δυσωπεῖν, πολλάκις
καταγράζουσι καὶ τὰς ἐπιεικεῖς. Ἐῶ δὴ τὰς εἰς τὰ χρή-

B. 5. χρήματα] Sumſi a Moſc. 1. et Jannot. Vulgo, χρήσιμα.

ter animi ſententiam dicere atque facere: et quanto quiſque animo iniquiore, tanto is crebrius in talem hominem imperium obtinet, impudentia ſua eum ad pudorem cogens. Unde fit, ut Dyſopia, tanquam locus humilis et mollis, quia nullum congreſſum averſari, aut detrectare poteſt, turpiſſimis quibuſque rebus et vitiis occupandam ſe præbeat. Peſſima ſane cuſtos ea puerilis ætatis: ſicut et Brutus dicebat, *male ſibi videri eum florem ætatis collocaſſe, qui nihil negare auderet.* Eadem peſſima thalami eſt et gynæcei adminiſtra: ſicut apud Sophoclem adultero quædam corrupta ab eo dicit,

*Tu blandiendo perſuaſiſti mihi.*—

hoc adeo vitium intemperantiam corrumpere occupans, inſidiantibus omnia expugnatu facilia, recluſa, atque prona reddit. Dando capiunt impuriſſima ingenia, perſuadendo et pudorem ineptum injiciendo ſæpe etiam proba ſubigunt. Mitto quæ damna is

μαζα βλάβας ὑπὸ τῆ δυσωπεῖσθαι, δανειζόντων οἷς ἀπιστοῦσιν, ἐγγυωμένων οἷς οὐ θέλουσιν· ἐπαινέντων μὴ τὸ, Ἔγγυα, πάρα δ' ἄτα, χρῆσθαι δ' αὐτῷ πρὸς τὰ πράγματα μὴ δυναμένων.

Δ'. Ὅσους δ' ἀνήρηκε τοῦτο τὸ πάθος, οὐκ ἄν τις ἐξαριθμήσαιτο ῥᾳδίως. Καὶ γὰρ ὁ Κρέων πρὸς τὴν Μήδειαν εἰπών,

Κρεῖσσον δέ μοι νῦν πρὸς σ' ἀπέχθεσθαι, γύναι, C
Ἢ μαλθακισθέντ' ὕστερον μέγα στένειν,

ἄλλοις ἐγνωμολόγησεν· αὐτὸς δὲ τῆς Δυσωπίας ἥττων γενόμενος καὶ μίαν ἡμέραν ἀτυμήσας δοὺς, ἀπώλεσε τὸν οἶκον. Ἔνιοι δὲ καὶ σφαγὰς ὑφορώμενοι καὶ φαρμακείας, διετράπησαν. Οὕτω παραπόλλων Δίων, οὐκ ἀγνοήσας ὑπὸ Καλλίππου Καλλίππον, ἀλλ' αἰσχυνθεὶς φυλάττεσθαι φίλον ὄντα καὶ ξένον. Οὕτως Ἀντίπατρος ὁ Κασάνδρου Δημήτριον καλέσας ὑπὶ δεῖπνον, εἶτα κληθεὶς τῇ ὑστεραίᾳ πρὸς αὐτὸν, ἠδέσθη πεπιστευμένος ἀπιστεῖν, καὶ πορευθεὶς ἐσφάγη μὴ τὸ

B. 8. περὶ τὰ πράγματα] Legendum παρὰ τὰ πράγματα, cum Reiskio.

Pudor adfert rei familiari, quando eo ducti mutuum damus quorum ſuſpecta eſt fides: ſpondemus inviti, ac laudantes illud, *Sponde, præſto noxa eſt*, uti eo in rebus nequimus.

IV. Quam multis exitio fuerit hoc vitium, non eſt enumeratu facile. Etenim Creon hæc ad Medeam dicens,

*Præſtat jam nunc inviſum me fieri tibi,*
*Ob mollitiem quam poſtmodo gemere meam,*

aliis præclaram ſubjecit ſententiam: ipſe Vitioſo victus Pudore, unicam diem petenti dum aſſentitur, familiam ſuam perdidit. Nonnullos etiam cædem ſibi aut venenum parari ſuſpicantes, Pudor ineptus a tuenda ſalute deterruit. Sic periit Dion, non ignorans ſibi abs Callippo ſtrui inſidias, ſed ab amico et hoſpite ſibi cavere pudori ducens. Sic Antipater Caſſandri F. cum cœna excepiſſet Demetrium, vocatus poſtridie ab eo, quod puderet fidem non habere ſibi habitam, ivit et a cœna eſt

δεῖπνον. Ἡρακλέα δὲ τὸν Ἀλεξάνδρῳ γενόμενον οὐκ
D Βαρσίνης, ὡμολόγησε μὲ Κασάνδρῳ Πολυσπέρχων ἀναιρήσειν ὀπὶ ταλάντοις ἑκατὸν, εἶτ' ὀπὶ δεῖπνον ἐκάλει· τῷ δὲ μειρακίῳ τὰ κλῆσιν ὑφορωμένῳ καὶ δεδοικότι, ἄλλως δὲ προφασιζομένῳ μαλακώτερον ἔχειν, ἐλθὼν ὁ Πολυσπέρχων, θαῤῥῶν εἶπεν, Ὦ παῖ, μιμοῦ γε πατρὸς τὸ εὔκολον καὶ φιλέταιρον, εἰ μὴ νὴ Δία δέδοικας ἡμᾶς ὡς ὑποβουλεύοντας· αἰδεσθεὶς οὖν ἠκολούθησεν ὁ νεανίσκος· οἱ δὲ δειπνήσαντες αὐτὸν ἐσφαγγάλισαν. Οὐ γελοῖον ἦν, ὡς φασί τινες, μὴδὲ ἀβέλτερον, ἀλλὰ σοφὸν ὃ φησὶν Ἡσίοδος,

Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι.

E μὴ δυσωπεῖ τὸν μισοῦντα, μηδ' ἐπαίσχαλε πιστεύειν δοκοῦντα, κλήσει γὰρ καλέσας, καὶ δειπνήσῃς ἂν δειπνώσῃς, ὥσπερ βαφεῖ, τὴν φυλάττουσαν ἀπιστίαν μαλαχθεῖσαν αἰσχύνῃ παρέμβυος.

E. 1. ἐπαίσχαλε] Nil in libris ſani: plerique vulgatum exhibent: varia lectio C. et Colleg. Nov. ἐπισκάλει. Moſc. 2. ἐπεύγαλε. Forte μηδὲ σύ γε καλεῖ· vel μηδ' οὖν ἐλαύνῃ· vel μηδ' ὑπόλαβε πιστεύειν, δοκοῦντα· quod verti.

interfectus. Herculem Alexandri Magni e Barſina F. Caſſandro Polyſperchon promiſit acceptis centum talentis ſe interfecturum, atque ad cœnam invitavit: adoleſcens, cui ſuſpecta res metum injiciebat, minus integra ſe valetudine præſcripta excuſavit: ut autem Polyſperchon venit, et, *O adoleſcentule*, dixit, *primo omnium facilitatem patris, atque erga amicos comitatem imitare, niſi mehercle nos ut inſidiatores times:* ductus pudore una ad cœnam ivit eſtque ab accumbentibus ſtrangulatus. Non ergo ridiculum eſt, ut nonnulli eſſe dixerunt, neque ſtolidum, ſed ſapiens Heſiodi præceptum,

*Qui te amat, hic convivia inimico ſit tibi omiſſo.*

noli ejus qui te odit pudore moveri, neque ideo, quod tibi is videtur fidem habere, puta eum fidem habere: nam vocaberis, ſi vocaveris, et cœna præbenti præbebitur, incredulitatem tanquam aciem cautionis pudore emollitam ubi dimiſeris.

ε'. Ὡς οὖν πολλῶν κακῶν αἴτιον τὸ νόσημα ὂν τοῦτο, πειρατέον ἀποδιάζεσθαι τῇ ἀσκήσει, πρῶτον ἀρξαμένους, ὥσπερ οἱ τἄλλα μελετῶντες, ἀπὸ τῶν μικρῶν καὶ μὴ σφόδρα δυσαποβλέπτων. Οἷον, ἂν δείπνῳ παρῇ τις ἄδην ἔχοντι· μὴ δυσωπηθῇς, μηδὲ πρόσθιάσῃ σαυτόν, ἀλλὰ κατάθου τὸ ποτήριον. Αὖθις ἕτερος παρακαλεῖ κυβεύειν πρὸς πότον· μὴ δυσωπηθῇς, μηδὲ δείσῃς σκωπτόμενος· ἀλλ' ὥσπερ Ξενοφάνης, Λάσου τοῦ Ἑρμιονέως μὴ βελτίωνα αὐτῷ συγκυβεύειν, δειλὸν ἀποκαλοῦντος, ὡμολόγει καὶ πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος. Πάλιν, ἀδολέσχῃ συνιὼν τις ὑπερβαινομένῳ καὶ παρεπλεκομένῳ· μὴ δυσωπηθῇς, ἀλλὰ ἀφορμὰς ἐπέγνω καὶ πέρανε τὸ προκείμενον. Αἱ γὰρ τοιαῦται φυγαὶ καὶ ἀφαιρέσεις, ἂν ἐλαφρᾶς μέμψεσι καὶ μετ- 531
λέτῃσι ἔχωσι τοῦ ἀδυσωπήτου, παρεσκεύασιν ἡμᾶς ἐπὶ τὰ μείζονα. Καὶ τὸ τοῦ Δημοσθένους ἐνταῦθα καλῶς ἔχει ἀναμιμνήσκεσθαι. Τῶν γὰρ Ἀθηναίων ὁρμησάντων

V. Enimvero hoc vitium, utpote multorum cauſam malorum, primum conabimur amoliri, ab adſuefactione petito ad res (ut ſolemus in aliis quæ meditamur) exiguas initio, et in quibus non admodum difficulter huic malo reſiſtatur. Verbi gratia; In cœna tibi ſaturo aliquis præbibit; noli verecundia inepta ductus vim tibi facere, ſed depone poculum. Alius inter pocula poſcit ut teſſeris ſecum ludas; abjice inanem pudorem, neque metue dicteria: et Xenophanem imitare, qui timidus dictus a Laſo Hermionenſe quod ludere cum eo teſſeris nollet, faſſus eſt *ad res inhoneſtas ſe timidiſſimum etiam eſſe*. Incidiſti in garrulum qui tibi inhæret ac te detinet; noli vereri, ſed præciſo colloquio propera et age quod cœpiſti. Hujuſmodi fugæ et repulſiones, quibus vili reprehenſione comitante fatui Pudoris vacuitatem meditamur, ad majora nos præparant. Atque hoc loco tempeſtivum eſt Demoſthenicum illud commemorare. Is cum Athenienſes ad ferendam Har-

Ἀρπάλῳ βοηθεῖν, καὶ κορυσσομένων ὅπλα τὸν Ἀλέξανδρον, ἐξαίφνης ἐπέφανη Φιλόξενος ὁ τὴν ἐπὶ θαλάττῃ στρατηγίαν τῶν Ἀλεξάνδρου στρατιωτῶν· ἐκπλαγέντος δὲ τοῦ δήμου, καὶ σιωπῶντος ἀφ' ὑπερβολῆς φόβου, ὁ Δημοσθένης, Τί ποιήσουσιν, ἔφη, τὸν ἥλιον ἰδόντες, οἱ μὴ δυνάμενοι πρὸς τὸν λύχνον ἀντιβλέπειν; Τί γὰρ ποιήσῃς ἐν πράγμασι μεγάλοις, βασιλέως ἐντυγχάνοντος, ἢ δήμῳ δυσωπουν-
B τος, εἰ ποτήριον ἀπώσασθαι μὴ δύνασαι πρεσβύτου σωφρονοῦντος· μηδὲ ἀδολέσχου λαβὴν ἀφαφυγεῖν, ἀλλὰ παρέχειν ἐμπεριπατεῖν φλυάρῳ σαυτόν, οὐκ εὐζώνων εἶπεῖν, Ὄψομαί σε αὖθις, νῦν δὲ οὐ σχολάζω.

ϛ'. Καὶ μὴν οὐδὲ ἡ πρὸς τὰς ἐπαίνους τοῦ ἀδυσωπήτου μελέτη καὶ ἄσκησις ἐν μικροῖς καὶ ἐλαφροῖς ἄχρησός ἐστιν. Οἷον, ἐν συμποσίῳ φίλου κιθαρῳδὸς ᾄδει κακῶς, ἢ πολλοῦ κωμῳδὸς εὐνηθμένος ὑποκρίνεται Μένανδρον, οἱ δὲ πολλοὶ κρότοις καὶ θαυμάζουσιν· οὐδέν, οἶμαι, χα-
C λεπὸν οὐδὲ δύσκολον ἀκούειν σιωπῇ, καὶ μὴ φωνὴ τὸ φαι-

palo opem ſe, et adverſus Alexandrum arma capeſſanda incitarent, ac ſubito adveniente Philoxeno, copiarum Alexandri maritimarum præfecto, populus perterritus metu conticuiſſet, *Quid*, inquit, *facient Sole conſpecto, qui adverſus lucernam oculos attollere non audent?* Quid enim facies in magnis rebus, rege aut populo pudorem tibi incutiente, ſi non audes poculum præbibente familiari repudiare, aut garruli prehenſionem effugere, ſed nugatorem tibi inſultare pateris? non tantum animi habens, ut dicas, *Alias te videbo, nunc non vacat.*

VI. Utilis eſt etiam in parvis et vilibus rebus exercitatio vacuitatis Pudoris inepti, quod ad laudandum attinet. Puta; In convivio citharœdus amici male canit, aut magno emtus hiſtrio Menandrum agendo flagellat, pleriſque laudantibus et applaudentibus: non eſt quidem ita arduum, audire cum ſilentio, neque illiberaliter contra animi ſententiam laudare. Nam

νόμιμον ἀνελευθέρως ἐπαινεῖν. Ἐὰν γὰρ σὺ τούτοις μὴ χρατῇς σαυτῷ, τί ποιήσεις φίλῳ ποίημα φαῦλον ἀναγινώσκοντος, ἢ λόγον ἐπιδεικνυμένῳ γελοίως γεγραμμένον ἀβελτέρως ἢ γελοίως; ἐπαινέσεις δηλονότι, καὶ συνεπιθορυβήσεις τοῖς κολακεύουσι. Πῶς οὖν ἐν πράγμασιν ἁμαρτάνοντος ἐπιλήψῃ; πῶς δὲ περὶ ἀρχὴν ἢ γάμον ἢ πολιτείαν ἀγνωμονοῦντα νουθετήσεις; Ἐγὼ μὲν γὰρ οὐδὲ τὸ τοῦ Περικλέους ἀποδέχομαι, πρὸς τὸν ἀξιοῦντα μαρτυρίαν ψευδῆ μαρτυρῆσαι φίλον, ἢ προσλῶ καὶ ὅρκος, εἰπόντος, Μέχρι τοῦ βωμοῦ φίλος εἰμί· λίαν γὰρ ἐγγὺς ἦλθεν. Ὁ δὲ πάρ- D ρωθεν ἑαυτὸν ἐῴσας μήτε λέγοντος ἐπαινεῖν πρὸς γνώμην, μήτε ᾄδοντος χροτεῖν, μήτε σκώπτοντος ἀφυῶς ὑπογελᾶν, οὐκ ἐάσει μέχρι τούτου προελθεῖν, οὐδ' εἰπεῖν πρὸς τὸν ἐν ἐκείνοις ἀδυσώπητον, Ὄμοσον ὑπὲρ ἐμοῦ καὶ ταὐ ψευδῆ μαρτύρησον, καὶ ἀπόφηναι πρὸς τὸ δίκαιον.

ζ'. Οὕτω δὲ δεῖ καὶ πρὸς τοὺς αἰτοῦντας ἀργύριον ἀντιβαίρειν, προεθιζόμενον ἐν τοῖς μήτε μεγάλοις, μήτε δυσ-

in hoc genere ſi compos tui non ſis, quid facies amico poëma ineptum recitante, aut orationem oſtendente ridicule fatueque ſcriptam? ſcilicet laudabis, et adulatorum obturbantium catervæ te ſocium addes. Quomodo ergo in rebus eum gerendis peccantem inhibebis: quomodo in magiſtratu, conjugio, aut republica delinquentem caſtigabis? Ego enim ne Periclem quidem probo, qui amico poſtulanti ut falſum pro ipſo teſtimonium, idque juratus, diceret, reſpondit, *Se uſque ad aras amicum eſſe:* nimis enim prope acceſſerat. At, qui eminus ſe adſuefecit, ut neque dicentem laudet diverſum ſentiens, neque canenti applaudat, neque ſcurrilibus dictis arrideat, is rem eo uſque deduci non patietur, ut ipſi iſtis in rebus inepti pudoris vacuo dicat aliquis, Jura pro me, falſum perhibe teſtimonium, pronuncia injuſte.

VII. Eodem modo adſuefcere debemus, ut pecuniam petentibus reluctemur in rebus neque magnis neque recuſatu difficilibus. Etenim

παραιτήτοις. Ἀρχέλαος μὲν γὰρ ὁ τῶν Μακεδόνων βασιλεὺς τῷ δεῖπνον αἰτηθεὶς ἔκπωμα χρυσοῦν ὑπ' ἀνθρώπου μηδὲν ἠρυμένου καλὸν ἢ τὸ λαμβάνειν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι, ὡς πρὸς τὸν ἄνθρωπον ἐκεῖνον ἀποβλέψας, Σὺ μέν, εἶπεν, αὐτεῖν ὀπτήδειος εἶ καὶ μὴ λαμβάνειν, οὗτος δὲ λαμβάνειν καὶ μὴ αἰτῶν· ἄριστα τῶν διδόναι καὶ χαρίζεσθαι κύριον ποιῶν τὸ κρῖνον, ἀλλὰ μὴ τὸ δυσωπούμενον. Ἡμεῖς δὲ πολλάκις ἀνθρώπους ὀπαδικοὺς καὶ οἰκείους καὶ δημοσίους φειδομένους, ἐπιεικῶς αἰτοῦσιν ἐκλελεγμένοις καὶ ἰταμῶς ἐδώκαμεν, οὐ δοῦναι θελήσαντες, ἀλλ' ἀρνήσασθαι μὴ δυνηθέντες. Ὥσπερ Ἀντίγονος ὁ γέρων ὑπὸ Βίαντος ἐνοχληθεὶς πολλάκις, Δότε, εἶπε, Βίαντι τάλαντον, ὡς ἀνάγκη. Καίτοι τῶν βασιλέων μάλιστα ἐμμελὴς εἶναι καὶ πιθανὸς ἀποτρέπεσθαι τὰ τοιαῦτα. Κυνικῷ γάρ ποτε δραχμὴν αἰτήσαντος αὐτόν, Οὐ βασιλικόν, ἔφη, τὸ δόμα· τῷ δὲ ὑποτυ-

Ε. 4. πολῶν] Sic C. D. Moſc. 2. Colleg. Nov. Jun. Vulgo, πλατῶν.
Ε. 9. Βίαντος—Βίαντι] Βίαντος—Βίαν legendum monet Is. Caſaubon. ad Diog. Laert. IV, 48.

Archelaus Macedonum rex in cœna aureum poculum poſcente quodam, cui nihil pulchrum videbatur niſi accipere, puerum id Euripidi dare juſſit: et in alterum illum intuens, *Tu quidem*, inquit, *ad petendum idoneus es, non ad accipiendum: ille autem ad accipiendum, etiam non petens:* rectiſſime dandi ac donandi arbitrium judicio, non inepto Pudori deferens. At vero nos ſæpenumero hominibus probis, familiaribus, et indigentibus præteritis, aliis continenter ac proterve petentibus damus, non ſtudio dandi, ſed quia negare non poſſumus. Ita Antigonus ſenex a Biante crebro interpellatus, *Date*, dixit, *Bianti et neceſſitati talentum*: quanquam is quidem alias ita ut quiſquam regum in hujuſmodi petitoribus repellendis accuratus fuit atque argutus. Cynico enim cuidam drachmam poſtulanti, *Non eſt*, ait, *hoc donum regium*: et ſubjiciente illo, *Da*

χόντος, Δὸς ἴν μοι τάλαντον, ἀπώτησεν, Ἀλλ' οὐ κυνικὸν τὸ λῆμμα. Διογένης μὲν οὖν τὰς ἀνδριάντας ἤτει περιὼν ἐν Κεραμεικῷ, καὶ πρὸς τοὺς θαυμάζοντας ἔλεγεν ἀποτυγχάνειν μελετᾶν. Ἡμῖν δὲ πρῶτον ἐμμελετητέον ὅτι τοῖς φαύλοις, καὶ γυμναστέον περὶ τὰ μικρά, πρὸς τὸ ἀρνεῖσθαι τοῖς αἰτοῦσιν ἃ προσκόπτοντας λυπεῖν ὡς ἂν μείζοσιν ἀποτεύξεσιν ὀπισπρεῖν ἔχω- 533
μεν. Οὐδεὶς γάρ, ὡς ὁ Δημοσθένης φησίν, εἰς ἃ μὴ δεῖ καταναλώσας τὰ παρόντα, πάλιν μὴ παρόντων εὐπορήσῃ πρὸς ἃ δεῖ. Γίγνεται δὲ ἡμῖν πολλαπλάσιον τὸ αἰσχρὸν, ὅταν ἐλλίπωμεν εἰς τὰ καλὰ, πλεονάσαντες τοῖς περιττοῖς.

η'. Ἐπεὶ δὲ οὐ χρημάτων μόνον ἡ Δυσωπία κακὴ καὶ ἀγνώμων ἐστὶν οἰκονόμος, ἀλλὰ κἀ περὶ τὰ μείζονα παραιρεῖται τὸ συμφέρον τῷ λογισμῷ· καὶ γὰρ ἰατρὸν νοσοῦντες οὐ παρακαλέμεν τὸν ἔμπειρον, αἰσχυνόμενοι τὸν

F. 9. ὃ προσκόντας λυπεῖν] Varie turbant libri ſcripti. Puto conſtitutum iri orationem corrigendo ἀεὶ pro ὃ.

A. 9. παραιρεῖται] Sumſi a D. Moſc. 2. et varia lectione codicis Xyl. Vulgo, παραιτεῖται.

*ergo talentum*, reſpondit, *Hoc accipere non eſt Cynicum*. Sane Diogenes in Ceramico ſtatuas circumibat, ab iiſque ſtipem exigebat, mirantibuſque hoc dicebat, *Meditari ſe repulſas*. Nobis autem primum in vilibus adſueſcendum eſt et parvis rebus, ut denegare poſſimus quæ petuntur inconvenienter: ut majoribus in repulſis non deſit copia opitulandi. Recte enim Demoſthenes, *Nemo*, inquit, *præſentibus in quæ non debuit inſumtis, abſentium copiam ad uſus neceſſarios conſequetur*. Multiplicatur autem nobis turpitudo, ſi abundantes in otioſis rebus, inopes ſimus in pulchris.

VIII. Enimvero Vitioſus Pudor non in pecunia modo diſpenſanda pravos nos et iniquos reddit, ſed etiam in majoribus rebus facit ut reſpuamus quod recta ratio utiliter ſuggerebat: quippe ægrotantes, non peritum accerſimus medicum, pudore nobis fami-

συμπῆ· καὶ παισὶ διδασκάλους ἀντὶ τῶν χρηστῶν, τοὺς
B τῶν κολακῶν ἕλωμεθα· καὶ δικίων ἐχοντες πολλάκις
οὐκ ἐῶμεν εἰπεῖν τὸν ὠφέλιμον καὶ ἀγοραῖον, ἀλλ' οἰκείου
τινὸς συγγενοῦς ὑφ' ἡδονῆς χαριζόμενοι, παρεδώκαμεν ἐμπαιγνύναι· τέλος δὲ πολλοῦ ἐστιν ἰδεῖν καὶ τὸν φιλοσοφεῖν λεγόμενον, Ἐπικουρείους καὶ Στωϊκοὺς ὄντας, οὐκ ἐλομένους οὐδὲ κρίνασθαι, ἀλλὰ προσθεμένους δυσωποῦσιν οἰκείοις καὶ
φίλοις· φέρε δὴ καὶ ταῦτα πόρρωθεν σὺν τοῖς ὀπιτυχοῦσι καὶ μικροῖς γυμνάζωμεν ἑαυτούς, ἐθίζοντες μήτε χειρεῖ, μήτε γναφεῖ κατὰ Δυσωπίαν χρῆσθαι, μήτε καταλύειν σὺν φαύλῳ πανδοκείῳ, βελτίονος παρόντος, ὅτι
C πολλάκις ὁ πανδοκεὺς ἠσπάσατο ἡμᾶς· ἀλλ' ἔθους ἕνεκα, κἂν ἡ τράπεζα μικρὸν, αἱρεῖσθαι τὸ βέλτιον· ὥσπερ οἱ Πυθαγορικοὶ παρεφύλαττον ἀεὶ μηδέποτε τῷ δεξιῷ μηρῷ τὸν εὐώνυμον ἐπιθέναι, μηδὲ τὸ ἄρτιον ἀντὶ τοῦ περιττοῦ λαβεῖν, τῶν ἄλλων ὁπόσα ἐχόντων. Ἐθιστέον δὲ, καὶ θυσίαν

liaris moti: et liberis magiſtros loco bonorum præficimus eos qui nobis operam ſuam obtrudunt: et litis noſtræ patrocinium non utili et in foro verſato committimus alicui, ſed gratificandi ſtudio amici alicujus aut cognati filio eam oſtentandi ſui materiam offerimus: denique invenias, qui philoſophantium nomen gerentes, Epicurei aut Stoici fiunt non judicio aliquo, ſed ob pudorem ineptum urgentibus familiaribus et amicis ſe addentes. Quæ ita cum ſint, age dum in vilibus ac quotidianis rebus eminus nos condocefaciamus, ut neque tonſore neque pictore, Pudore inepto impulſi, utamur, neque in diverſorio incommodo divertamus, omiſſo commodiore quod ad manum eſt, quia caupo nos ſæpe ſalutaverit: ſed adſueſcendi gratia utamur eo quod melius eſt, etiamſi leve ſit diſcrimen: quomodo Pythagorei obſervabant, ne unquam dextro femori ſiniſtrum imponerent, neve parem numerum pro impari acciperent, cum reliqua æquailter haberent. Adſueſcendum eſt

πρόμνον ἢ γάμον, ἢ που ἄλλῳ τοιούτῳ ὑποδοχῇ, μὴ τὸν ἀσπασάμενον καλεῖν ἢ προσδραμόντα, μᾶλλον ἢ τὸν εὔνουν καὶ χρηστόν. Ὁ γὰρ ὕπως ἐθισθεὶς καὶ ἀσκήσας, δυσάλωτος ἔσται, μᾶλλον δὲ ὅλως ἀνεπιχείρητος οἷς τοῖς μείζοσι.

Θ'. Περὶ μὲν οὖν ἀσκήσεως ἱκανὰ καὶ ταῦτα· τῶν δὲ χρησίμων ὑπολογισμῶν πρῶτός ἐστιν ὁ διδάσκων καὶ ὑπομιμνήσκων ὅτι πᾶσι μὲν τοῖς πάθεσιν ἀκολουθεῖ καὶ τοῖς νοσήμασιν, ἃ φεύγειν δι' αὐτὰ δικαίως, ἀδοξίαι φιλοδοξίας, καὶ λύπαι φιλησονίας, καὶ πόνοι μαλακίας, καὶ φιλονεικίαις ἥβαι καὶ καταδίκαι· τῇ δὲ Δυσωπίᾳ συμβέβηκεν ἀτεχνῶς φεύγουσι καπνὸν ἀδοξίας, εἰς πῦρ ἐμβάλλειν ἑαυτούς. Αἰσχυνόμενοι γὰρ ἀντιλέγειν τοῖς ἀγνωμόνως δυσωποῦσιν, ὕστερον δυσωπηθέντες τὰς διαφόρους ἐγκλήσεις καὶ δεδιότες μέμψιν ἐλαφρὰν, πολλάκις αἰσχύνην ὁμολογουμένως ὑπομένουσι. Καὶ γὰρ ἀπαιδεύτου ἀργύ-

etiam, ut ad ſacrificium, nuptias, aut convivium, invitemus non eum potius qui nos ſalutavit aut accurrit, quam benevolum et utilem. Qui enim ſic fuerit exercitatus, is in majoribus non modo non capietur, ſed ne tentabitur quidem a vitio.

IX. Atque hæc de exercitatione dicta ſufficiant. De ratiocinationibus autem utilibus prima hæc eſt qua docemur et admonemur, cum omnibus aliis affectibus ac morbis animi ea comitari ipſa mala, quæ illorum opera evitare volueramus, ut ambitioni infamiam, cupiditati voluptatum dolores, mollitiei labores, contendendi ſtudio damnationes et partes inferiores: tum vero inepto Pudori hoc plane uſu venire, ut qui eum ſecuti fumum fugiunt, in ignem incidant: dum enim verentur contradicere inique urgentibus, poſtmodo pudore turpi afficiuntur in juſtas illapſi accuſationes, et ob metum exiguæ reprehenſionis, plerumque apertum dedecus ſuſtinent. Etenim amico pecuniam flagitanti, denegare ob

ριον φίλου δυσωπηθέντες ἀντειπεῖν, οὐκ ἔχοντες, ἀχημονοῦσι μετ' ὀλίγον ἐξελεγχόμενοι· ἢ βοηθήσειν ὁμολογήσαντες οἷοις δίκαιον ἔχουσιν, εἶτα τὸν ἕτερον ἀφιστάντες, ὑποκρίσεσι ἢ ἀπατεύουσι· πολλοὺς δὲ καὶ περὶ γάμου ἢ περὶ θυγατρὸς ἢ ἀδελφῆς εἰς ὁμολογίαν ἀλυσιτελῆ κατακλείσασα Δυσωπία, ψεύδεσθαι πάλιν ἀναγκάζει μεταπεμπομένους.

ι'. Ὁ μὲν γὰρ εἰπὼν ὅτι πάντες οἱ τὴν Ἀσίαν κατοικοῦντες ἑνὶ δουλεύουσιν ἀνθρώπῳ ἀφ' οὗ μὴ δύναται μίαν εἰπεῖν τὴν Οὐ συλλαβήν, οὐκ ἐασχύνθησεν, ἀλλ' ἔσκωψε· τοῖς δὲ δυσωπουμένοις, κἂν μηδὲν εἴπωσιν, ἔξεστιν ὀφρῦσι ἐπάρασι μόνον ἢ κάτω κύψασι, πολλὰς ἀβουλίας καὶ ἀτόπους ὑποκρίσεις ἀφαφεύγειν. Τὴν γὰρ σιωπὴν ὁ μὲν Εὐριπίδης φησὶ τοῖς σοφοῖς ὑπόκρισιν εἶναι· κινδυνεύομεν δὲ μᾶλλον αὐτῆς δεῖσθαι πρὸς τοὺς ἀγνώμονας. Ἐπεὶ τοὺς χαριέντας ὁρᾷ καὶ παρηορῶσαι· ἢ πρόχειρά γε δεῖ καὶ συχνὰ τὰ ὑπόφαινα καὶ ἀγαθὰ

ineptum Pudorem non auſi, carentes ea ipſi, paulo poſt turpiter ſtant re patefacta: eodemque modo polliciti ſe patrocinaturos alicui in judicio, pudore alterius partis ducti vadimonium deſerunt. Multos etiam Pudor Vitioſus in ſtipulationem nuptiarum filiæ ſororiſve inutilem conjectos, mentiri mutata ſententia coëgit.

X. Dixit quidam, non ſerio tamen, ſed jocans, omnes Aſiæ incolas uni ſervire homini, ideo quod unicam ſyllabam NON pronunciare nequirent: at qui improbe urgentur ad peccandum pudoris metu, ii etiam ſi nihil dicant, ſaltem ſublato ſupercilio, oculiſve in terram defixis, multa poſſunt adverſa ipſis et abſurda evitare miniſteria. Etenim *ſilentium* Euripides *ſapientibus eſſe* dixit *reſponſum*. Videmus autem magis eo adverſus iniquos opus habere. Nam verbis quidem poſſumus placare urbanos homines: ad quam rem in promtu ſunt habenda multa illuſtrium ac bonorum

ἀνδρῶν ἔχειν ἀποφθέγματα, καὶ μνημονεύειν πρὸς τὰς δυσωποῦντας· οἷον τὸ Φωκίωνος πρὸς Ἀντίπατρον, Οὐ δύναμαί μοι ἅμα φίλῳ χρῆσθαι καὶ κόλακι. Καὶ πρὸς τὰς Ἀθηναίους, ἐπιδεῖναί κελευόντας αὐτὸν ἐν ἑορτῇ, καὶ χροτοῦντας, Αἰσχύνομαι, εἶπεν, ὑμῖν μὴ ἐπιδιδούς, τούτῳ δὲ μὴ ἐπιδιδούς· Καλλικλέα δείξας τὸν δανειστὴν αὐτῷ. Πενίαν γὰρ οὐκ ὁμολογεῖν αἰσχρὸν, ὡς ὁ Θουκυδίδης φησὶν, ἀλλ' ἔργῳ μὴ ἀποφεύγειν αἶσχος. Ὁ δὲ ἀβελτηρίαν καὶ μαλακίαν πρὸς τὸν αὐτοῦντα δυσωπούμενος εἰπεῖν,

Οὐκ ἔστ' ἐν ἄντροις λευκὸς, ὦ ξέν', ἄργυρος·

εἶτα, ὥσπερ ἐνέχυρον, προσέμενος τὴν ἐπαγγελίαν,

Αἰδὲς ἀχαλκεύτοισιν ἔζευκται σφυδαις.

Ὁ δὲ Περσαῖος ἀργύριον τινὶ τῶν γνωρίμων δανείζων, δι' ἀγορᾶς καὶ τραπέζης ἐποιεῖτο τὸ συμβόλαιον· μεμνημένος δηλονότι τοῦ Ἡσιόδου λέγοντος,

Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θῆται.

θαυμάσαντος δὲ ἐκείνου καὶ εἰπόντος, Οὕτως, ὦ Περσᾶ,

virorum dicta: quale eſt Phocionis ad Antipatrum, *Non potes me ſimul et amicum habere et adulatorem.* Et Athenienſibus quadam in feſtivitate jubentibus cum ſtipem conferre ac plaudentibus, *Pudet vero me*, inquit, *ſi vobis contribuam, huic non retribuam*, Callicle creditore ſuo monſtrato. Paupertatem enim non fateri turpe eſt, ut ait Thucydides, ſed turpius re ipſa non effugere. At qui ob fatuitatem et mollitiem paſſus ſibi incuti pudorem, petenti dicere metuens,

*Non eſt in antris argentum, boſpes, candidum,*

ac quaſi pignus deinde promiſſionem emittit,

*Non ære fabricatis hunc pudor illigat Compedibus.—*

Perſæus cuidam ſociorum argentum mutuo dans, in foro et apud menſarium contractum confecit, ſcilicet memor Heſiodei præcepti,

*Quin etiam fratri teſtem rideas adhibeto.*

cumque alter admiraretur, ac diceret, *Adeone, Perſæe, omnia*

νομικῶς; Ναὶ, εἶπεν, ἵνα φιλικῶς ἀπολάβω, καὶ μὴ νομικῶς ἀπαιτήσω. Πολλοὶ γὰρ ἐν ἀρχῇ διὰ δυσωπίαν παρέμειναν τὸ πρῶτον, ὕστερον ἐχρήσαντο τοῖς νομίμοις μετ' ἔχθρας.

ια'. Πάλιν ὁ Πλάτων Ἑλίκωνι τῷ Κυζικηνῷ διδοὺς πρὸς Διονύσιον ὑπὲρ Ἡρακλείδου, ἐπῄνεσεν αὐτὸν ὡς ὑπιεικῆ καὶ μέτριον· εἶτα παρέγραψε τῇ ὑπὲρ Ἡρακλείδου τελευτώσῃ, Γράφω δέ σοι ταῦτα περὶ ἀνθρώπου, ζώου φύσει εὐμεταβόλου. Ξενοκράτης δέ, καίτοι παρὼν ἐπὶ τοῦ τόπου, ὅμως ὑπὸ δυσωπίας ἐκάμφθη, καὶ σωίσασθαι Πολυσπέρχοντι δι' ὑπερβολὴν ἄνθρωπον οὐ χρηστὸν, ὡς τὸ ἔργον ἔδειξε· δεξιωσάμενος δὲ αὐτὸν τῶν Μακεδόνος, καὶ πυθόμενος μή τινος ἔχοι χρείαν, ἤτησε τάλαντον· ὁ δὲ ἐκείνῳ μὲν ἔδωκε, Ξενοκράτει δὲ ἔγραψε, παραινῶν ὑπιμελέστερον τὸ λοιπὸν ἐξετάζειν οὓς σωίσησιν. Ὁ μὲν οὖν Ξενοκράτης ἠγνόησεν· ἡμεῖς δὲ καὶ πάνυ πολλάκις ὑπισάμενοι τοὺς πονηροὺς, καὶ γράμματα παρείμεθα καὶ χρή-

*ſecundum jus?* reſpondit, *Omnino, ut amice recipiam, neque jure experiar in repetendo.* Multi enim initio ob Pudorem Vitioſum omiſſa cautione, deinde lege agere ſuſcepta inimicitia opus habuerunt.

XI. Rurſum Plato Heliconi Cyziceno epiſtolam ad Dionyſium tradens, a probitate hominem et moderatione animi laudavit: ſed epiſtolam his verbis clauſit, *Hæc ad te ſcribo de homine, quod animal natura eſt mutabile.* Xenocratem vero, quamvis auſteris hominem moribus, Pudor tamen ineptus flexit, ut Polyſperchonti commendaret hominem, ut res docuit, non probum: comiter enim exceptus a Macedone, et interrogatus ecqua re opus haberet, talentum petiit: dedit hoc Polyſperchon, ſed Xenocratem monuit per litteras, ut accuratius poſthac examinaret quos commendare vellet. Atque hoc quidem Xenocrati ignoratione uſu venit. Nos autem ſæpe cum optime novimus malos, litteras tamen et

μαζα, βλάπτοντες ἑαυτούς, οὐ μεθ' ἡδονῆς, ὥσπερ οἱ ταῖς D ἑταίραις χαριζόμενοι καὶ τοῖς κόλαξιν, ἀλλὰ δυσχεραίνοντες καὶ βαρυνόμενοι τὴν ἀναίδειαν ἀνατρέπουσαν ἡμῶν καὶ καταβιαζομένην τὸν λογισμόν. Εἰ γὰρ τοῖς ἄλλό τι, καὶ τοῖς τὰς δυσωπούντας ἔξεστιν εἰπεῖν τὸ,

— μανθάνω μὲ οἷα δρᾶν μέλλω κακά,

τὰ ψευδῆ μαρτυρῶν, ἢ τὰ μὴ δίκαια κρίνων, ἢ τὰ μὴ συμφέροντα χειροτονῶν, ἢ δανειζόμενος ὑπὲρ ὃν μὴ ἀποδώσοντος.

ιβ'. Διὸ τῶν παθῶν, πάλιζα τῷ δυσωπεῖσθαι, τὸ μετανοεῖν οὐχ ὕστερον, ἀλλ' εὐθὺς ἐν οἷς πράττει παρέστι· καὶ γὰρ διδόντες ἀχθόμεθα, καὶ μαρτυροῦντες αἰσχυνόμεθα, καὶ συνεργοῦντες ἀδικοῦμεν, καὶ μὴ παρέχοντες ἐλεγ- E χόμεθα. Πολλὰ γὰρ, ὑπ' ἀσθενείας τῷ ἀντιλέγειν, καὶ τῷ ἀδυνάτων ἡμῖν ἐπαισχύνεσθαι τοῖς ἀεὶ παροῦσιν

D. 10. τῷ δυσωπεῖσθαι] τῷ δυσωπεῖσθαι recte corrigit Matth.
E. 1. συνεργοῦντες] Forte, συνηγοροῦντες.
E. 3. ἀεὶ παροῦσιν] λιπαροῦσιν Mez.

pecuniam largimur, nobiſque ipſis nocemus: neque id cum voluptate aliqua ut qui ſcortis adulatoribuſve donant, ſed indigne interim moleſteque ferentes impudentiam hominum, noſtram rationem quæ vi facta ſubvertat. Quod ſi alias, maxime ad eos qui nobis pudorem incutere volunt, dicere licet,

*Intelligo bene quid facturus ſim mali,*

falſum dicturus teſtimonium, injuſte judicaturus, inutilem legem probaturus, alienum æs contrahens ejus cauſa qui non reddet.

XII. Neque vero ullus eſt animi morbus, ubi pœnitentia non jam conſequatur, ſed ſtatim in ipſa actione præſto ſit: ut fit cum inepto pudori indulgemus; nam dantes moleſtiam percipimus, et teſtimonium ferentes pudore ſuffundimur, et adjuvamus cum infamia, et promiſſa non implentes convincimur. Quod enim ad contradicendum ſumus imbecilli, fit ut multa recipiamus iis quibuſcum vivimus, quæ præſtare non poſ-

ὡς συχάσῃς σὺ αὐλαῖς, καὶ τοὺς ἡγεμόνας σὺτεύξεις, μὴ βελόμβμοι μηδὲ εὐτονοῦντες εἰπεῖν, Οὐκ οἶδεν ἡμᾶς ὁ βασιλεύς, ἀλλ' ἑτέρους ὁρᾷ μᾶλλον. Ὡς Λύσανδρος Ἀγησιλάῳ τοσοῦτον ἐνεκεκρυκώς, ἀξιώμβμος δὲ μέγιστον δύνασθαι παρ' αὐτῷ διὰ τὴν δόξαν, οὐκ ἠνέχετο ὑποκριτεῖσθαι τὰς σὺντυγχάνοὐσας, ἀπιέναι τοὺς ἑτέρους κελεύων, καὶ θεραπεύεσθαι τὸν μᾶλλον αὐτὸν ὑπὸ τοῦ βασιλεῖ δυναμβένου. Οὐ γὰρ αἰσχρὸν τὸ μὴ πάντα δύνασθαι· τὸ δὲ, μὴ δυναμβένους ἢ μὴ περιιδεῖν ἀναδέχεσθαι τὰ τοιαῦτα καὶ ὑποδιάζεσθαι, τοῖς τῷ αἰσχρῷ καὶ λυπηρότατόν ἐστιν.

ιγ'. Ἀπ' ἄλλης δὲ ἀρχῆς· τὰ μὶ μέτρια καὶ πρέπ-
34 οντα δεῖ τοσοῦτος ὑπουργεῖν τοῖς ἀξιοῦσι, μὴ δυσωπουμβένους, ἀλλ' ἑκόντας· οἱ δὲ τοῖς βλαβεροῖς καὶ ἀτόποις τὸ τῷ Ζιμωνος ἀεὶ τοσοῦτον ἔχειν, ὃς ἀπαντήσας πὶ νεανίσκῳ τῶν συνήθων ὑπὸ τὸ τεῖχος ἡσυχῇ βαδί-

E. 5. ἴδην] Revocavi ex Ald. Baſ. Xyl. quibuſcum conſentiunt A. Muſc. 1. 2. Vulgo, εἶδεν.

A. 2. εἰκοντας] Rectius ἴκοντας· ut Mez.

ſumus, ut commendationes in aulam, et ad principes; quia ſcilicet nolumus et non audemus etiam dicere, Non novit nos rex, alios magis reſpicit. Lyſander quidem, cum a ſe animum Ageſilai abalienaſſet, et ob gloriam tamen putaretur apud eum plurimum poſſe, non veritus eſt commendationem a ſe petentes ad illum rejicere, jubens ad alios ire, ac per eos rem tentare, qui largius ipſo apud regem poſſent. Non enim turpe eſt non omnia poſſe: ſed quod non poſſis, et ad quod factus non ſis, id in te recipere et vi velle conſequi, præter quam quod turpe, etiam moleſtiſſimum eſt.

XIII. Rurſum ab alio principio ordiamur. Oportet mediocria et convenientia officia petentibus præſtare alacriter, non victos incuſſo ab iis pudore, ſed ultro concedentes: in damnoſis autem et abſurdis ſemper Zenonis illud habere in promtu, qui cum obviam eſſet factus adoleſcenti cuidam familiari ſuo juxta mu-

ζοντι, ϗ πυθόμενος ὅτι φεύγει φίλον ἀξιῶντα μαρτυρεῖν αὐτῷ τὰ ψευδῆ, Τί λέγεις, φησὶν, ἀβέλτερε; σὲ μὲν ἐκεῖνος ἀγνωμονῶν ϗ ἀδικῶν οὐ δέδιεν οὐδὲ αἰσχύνεται, σὺ δὲ ἐκεῖνον ὑπὲρ τοῦ δικαίων οὐ θαρρεῖς ὑποστῆναι; Ὁ μὲν γὰρ εἰπὼν, Ποτὶ τὸν πονηρὸν οὐκ ἄχρηστον ὅπλων ἁ πονηρία, κακῶς ἐθίζει μιμούμενον ἀμύνεσθαι τὸ κακίαν· τὸ δὲ τὰς ἀναιδῶς ϗ ἀδυσωπήτως ἐνοχλοῦντας, ἐκτρίβεσθαι τῷ ἀδυσωπήτῳ, ϗ μὴ χαρίζεσθαι τὰ αἰσχρὰ τοῖς ἀναισχύντοις αἰσχυνόμενον, ὀρθῶς ϗ δικαίως γινόμενόν ἐστιν ὑπὸ τῶν νῦν ἐχόντων.

ιδ'. Ἐπὶ τούτῳ τῶν δυσωπούντων τοὺς μὲν ἀδόξοις ϗ ταπεινοῖς ϗ μηδενὸς ἀξίοις οὐ μέγα ἔργον ἀντισχεῖν· ἀλλὰ ϗ μὴ γέλωτος ἔνιοι ϗ μὴ σκώμματος ἐκκλίνουσι τοὺς τοιούτους. Ὡς Θεόκριτος δυεῖν παρ' αὐτῷ τὸ βαλανείῳ στλεγγίδα κιχρωμένων, ὃν μὲν ξένον, τὸν δὲ γνώριμον κλέπτειν, μὴ παιδιᾶς ἀμφοτέρους διεκρούσατο, εἰπών, Σὲ μὲν οὐκ οἶδα, σὲ δὲ οἶδα. Λυσιμάχῳ δὲ Ἀθηναίων

rum ſenſim ambulanti, et audiret eum fuga ſe ſubducere amico poſtulanti ut falſum pro ipſo diceret teſtimonium, *Quid ais*, inquit, *ſtulte? iſte improbe injuſteque agens te non fugit, neque veretur: tu eum in juſta re ſubſiſtere non audes?* Qui enim dixit *nequitiam adverſus hominem nequam non eſſe malam armaturam*, is male adſuefacit nos, imitando ulciſci malitiam. At impudenter nobis moleſtos, et ad Vitioſum urgentes Pudorem, vacuitate pudoris amoliri, neque ob verecundiam hominibus perfrictæ frontis gratificari, opus eſt juſtum ac rectum, et quidem hominis cordati.

XIV. Jam obſcuris, abjectis, et nullius pretii hominibus, cum ii nos improbe inceſſunt, reſiſtere non eſt magni laboris: ſed quidam cum riſu et ſanna tales rejiciunt. Ut Theocritus, qui cum in balneo duo ſtrigilem ab ipſo utendam peterent, alter peregrinus, alter notus furtorum, jocoſe utrumque removit, dicens, *Te non novi, te vero novi.* Et Lyſimache Athenis

c ἡ τῆς Πολιάδος ἱέρεια, τῶν τὰ ἱερὰ προσαγόντων ὀρεσκόμων ἐγχέαι κελευόντων, Ἀλλ' ὀκνῶ, εἶπε, μὴ καὶ τοῦτο πάτριον γένηται. Καὶ Ἀντίγονος πρός τινα νεανίσκον γεγονότα μὲν ἐκ λοχαγοῦ χαρίεντος, αὐτὸν δὲ ἄτολμον ὄντα καὶ μαλακόν, ἀξιοῦντα δὲ προαχθῆναι, Παρ' ἐμοὶ, φησὶν, ὦ μειράκιον, ἀνδραγαθίας εἰσὶν οὐ πατραγαθίας τιμαί.

ιε'. Καὶ μὴν ἐάν τῳ ὁ δυσωπῶν ἔνδοξος ᾖ καὶ δυνατὸς, οἱ δὴ μάλιστα καὶ δυσπαράτητοι καὶ δυσαπότρεπτοι πρὸς τὰς κρίσεις ἢ τὰς χειροτονίας συντυγχάνοντές εἰσιν, ὃ μὴν ἔπραξεν ὁ Κάτων νέος ἔτι ὢν πρὸς Κάτλον, D οὐκ ἄν τινι φανείη ῥᾴδιον ἴσως οὐδ' ἀναγκαῖον. Ὁ γὰρ Κάτλος ἦν μὲν ἐν ἀξιώματι τῶν Ῥωμαίων μεγίστῳ, καὶ τότε τὴν πρωτείαν ἀρχὴν ἔσχεν· ἀνέβη δὲ πρὸς τὸν Κάτωνα τεταγμένον ἐπὶ τῶν δημοσίων ταμείων, ὡς δοκεῖ τισὶ, μόνος τινὰ τῶν ἐξημιωμένων ὑπ' αὐτοῦ, καὶ λιπαρὴς ἐγίνετο ταῖς δεήσεσι προσιζάνων· ἄχρις οὗ δυσανασ-

C. 2. ἐγχέαι] Matth. ἐγχεῖσθαι. Certe et Jun. notavit ἐγχέαι.

Minervæ Poliadis antiſtita, cum agaſones ſacra adportantes infundere juberent, *Vereor*, inquit, *ne hoc quoque in conſuetudinem trahatur.* Et Antigonus adoleſcenti cuidam egregii centurionis filio timido atque molli, cum is ornari et produci ad honores poſtularet, *Apud me*, inquit, *O adoleſcens, propriæ, non patriæ virtutis ſunt præmia.*

XV. Verum ubi is qui inſtat nobis, in honore eſt, et cum potentia: quod genus hominum difficilime poſſunt averti et excuſationibus flecti, cum in judiciis aut comitiis ſententias noſtras expetunt: fortaſſis neque facile, neque neceſſarium facto videatur id, quod egit Cato juvenis etiamnum adverſus Catulum. Is Catulus inter Romanos dignitate princeps, quo tempore cenſuram gerebat, ad Catonem acceſſit, tunc quæſtorem, deprecaturus pro quodam cui Cato multam dixerat: cumque urgeret precando, tandem

χετήσας ἐκεῖνος, Αἰσχρόν ἐστιν, ἔφη, Κάτλε, σὲ τὸν τιμητὴν ἀπαλλαγῆναι μὴ βαλόμενον σύντεῦθεν ὑπὸ τῆς ἐμῆς ὑπηρετῆσαι ἔλκεως· ἡ ὁ Κάτλος αἰσχυνθεὶς, πρὸς ὀργὴν ἀπῆλθε. Σκόπει δὲ μὴ τὸ τοῦ Ἀγησιλάου, καὶ τὸ τοῦ Θεμιστοκλέους βέλτιόν ἐστι καὶ μετριώτερον. Ὁ μὲν Ἀγησίλαος ὑπὸ τοῦ πατρὸς κελεύομενος χρῖναί τινα δίκην ἔφη νόμον, Ἀλλ' ὑπό σοῦ, ἔφη, πάτερ, πέπεισθαι τοῖς νόμοις ἐδιδασκόμην ἀπ' ἀρχῆς· διὸ καὶ νῦν σοι πείθομαι μηδὲν ποιεῖν ἔφη νόμον. Ὁ δὲ Θεμιστοκλῆς φησὶ Σιμωνίδῃ ἀξιοῦντί τι τῶν μὴ δικαίων, Οὔτ' ἂν σὺ ποιητὴς ἀγαθὸς εἶης, ἔφη, ἔφη μέλος ᾄδων, οὔτ' ἂν ἐγὼ χρηστὸς ἄρχων, παρὰ νόμον χρίνων.

ιϛ'. Καίτοι ὁ διὰ τὸ σῶμα ποδὸς φησὶ τὴν λύρην ἀμέλειαν, ὡς Πλάτων ἔλεγε, καὶ πόλεις πόλεσι καὶ φίλοι φίλοις διαφερόμενοι τὰ κάκιστα δρῶσί τε καὶ πάσχουσιν, ἀλλὰ διὰ τὴν

D. 10. Σκόπει δὲ μὴ—ἐπιεικέστερόν ἐστι] Secutus ſum Xyl. et Colleg. Nov. niſi quod ἡ retinent, aſſentiuntur C. D. Moſc. Schott. Anon. V. Vulgo, Σκόπει δὲ ἡ—ἐπιεικέστερον ἔτι.

F. 1. τὰ κάκιστα] Ita Baſ. Xyl. D. item A. pro varia lectione: melius ſane altero vulgato τἀλάχιστα· certius tamen eſt ἴσχατα ut exſtat in Platonis loco Clitophont. p. 255. E. Utrumque ἴσχατα κακὰ junxit Plutarchus ſupra p. 439. C.

impatientia impulſus Cato, *Turpe eſt*, inquit, *Catule, te cenſorem hinc diſcedere nolentem a lictoribus trahi:* ita Catulus pudore perfuſus, iratus abiit. Moderationis et æquitatis plus habent dicta Ageſilai et Themiſtoclis. Ageſilaus in quodam judicio juſſus a patre ſententiam a legibus alienam ferre, *At te*, inquit, *mi pater, jam inde ab initio edoctus ſum legibus parere: itaque etiam nunc tibi obtemperabo, nihil in leges peccando.* Themiſtocles Simonidi poſtulanti rem injuſtam, *Neque tu*, inquit, *poëta eſſes bonus, ſi contra carminis legem caneres: neque ego bonus magiſtratus, ſi judicarem præter civitatis legem.*

XVI. Et vero non ob pedis ad lyram inconcinnitatem, ut Plato dicebat, urbes urbibus, amici amicis infeſti redditi extrema inferunt accipiuntque damna, ſed ob juris et

περὶ τὰ νόμιμα καὶ δίκαια πλημμέλειαν. Ἀλλ' ὅμως ἔνιοι τῷ ἐν μέλεσι καὶ γράμμασι καὶ μέτροις ἀκριβοῦν αὐτοὶ φυλάττοντες, ἑτέρους ἐν ἀρχαῖς καὶ κρίσεσι καὶ πράξεσιν ἀξιοῦσιν ὀλιγωρεῖν τῶν καλῶς ἔχοντος. Διὸ καὶ τούτῳ μάλιστα χρηστέον πρὸς αὐτούς. Ἐντυγχάνει σοι δικάζοντι ῥήτωρ, ἢ βουλεύοντι δημαγωγός· ὁμολόγησον, ἐὰν ἐκεῖνος σολοικίσῃ προοιμιαζόμενος, ἢ βαρβαρίσῃ διηγούμενος· οὐ γὰρ ἐθέλησε διὰ τὸ φαινόμενον ἀρχεῖν· εἰπὲ γοῦν ὁρῶμεν ὅδε συγκρούσας φωνήεντι φωνῆεν ἐν τῷ λέγειν ἐπομόσαι. Ἕτερον πάλιν δυσωποῦντα τὸν ὀπιφανῶν καὶ ἐνδόξων, κέλευσον ὀρχούμενον δι' ἀγορᾶς ἐξελθεῖν, ἢ διαστρέφαντα τὸ πρόσωπον· ἐὰν δὲ ἀρνῆται, σός ἐστιν ὁ καιρὸς εἰπεῖν, καὶ πυθέσθαι τί αἴσχιόν ἐστι, τὸ σολοικίσαι καὶ διαστρέψαι τὸ πρόσωπον, ἢ τὸ λῦσαι τὸν νόμον, καὶ ἐπιορκῆσαι τὸν ὅρκον, καὶ πλέον νεῖμαι τῷ πονηρῷ τοῦ ἀγαθοῦ παρὰ τὸ δίκαιον. Ἔτι τοίνυν ὥσπερ Νικόστρατος ὁ Ἀργεῖος, Ἀρχιδάμου ἐπικαλοῦντος

legum violationem. Et tamen ſunt qui cum accuratam in cantilenis, literis, verſibuſque ſervent rationem, alios volunt in magiſtratu, judiciis, actionibuſque id quod rectum eſt negligere. Quibus maxime hoc modo occurrendum eſt. Flagitat aliquid a te jus dicente orator, aut conſulente in publicum? dic te morem ei geſturum, ſi in exordio ſolœciſmum, aut in narratione barbariſmum admittere velit: nolet enim, ob turpitudinis ſpeciem: cum videamus quoſdam etiam vocalem cum vocali concurrentem in dicendo non ferre. Rurſum aliquem illuſtrium virorum improbi aliquid abs te contendentem, jube ſaltando per forum exire, aut perverſo vultu: ſi neget hoc, jam tuum eſt quærere, Utrum ſit turpius ſolœciſmum facere, et vultum pervertere, an legem violare, perjurii ſe obligare, injuſte malo quam bono plus tribuere? Nicoſtratus Argivus, Archidamum petentem ut Cromnum ſibi traderet, ac

αὐτὸν ὑπὲ χρήμασι πολλοῖς ἢ γάμῳ γυναικὸς ἧς βέλεται Λακαίνης παραδοῦναι Κρῶμυον, οὐκ ἔφη γεγονέναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· ἐκεῖνον μὲν γὰρ ἁπανταχοῦ περιιόντα τοὺς πονηροὺς· τοῦτον δὲ, τοὺς χρηστοὺς B ποιεῖν πονηρούς· οὕτω καὶ ἡμῖν πρὸς ἄνθρωπον ἀξιοῦντα καλὸν καγαθὸν λέγεσθαι, ῥητέον, ἂν βιάζηται καὶ δυσωπῇ, μὴ πρέποντα ποιεῖν μηδὲ ἄξια τῆς περὶ αὐτὸν εὐγενείας τε καὶ ἀρετῆς.

ιζ'. Ἐπὶ δὲ τῶν φαύλων ὁρᾶν δεῖ καὶ διανοεῖσθαι, τὸν φιλάργυρον εἰ δυσωπήσῃς ἄνευ συμβολαίου δανεῖσαί σοι τάλαντον, ἢ τὸ φιλότιμον πείσῃς ἐκχωρῆσαι τῆς πρωτοστασίας, ἢ τὸν φίλαρχον τῆς παρρησίας, ὑπίδεξον ὅταν κρατήσῃ. Δεινὸν γὰρ ἂν ἀληθῶς φανείη, τούτους μὲν οὕτω νοσήματι καὶ παθήματι ἀκαμπεῖς διαμένειν καὶ ἐχυροὺς C καὶ δυσμεταθέτους, ἡμᾶς δὲ, βουλομένους καὶ φάσκοντας

A. 9. ἧς βούλεται] Hoc ex D. prætuli vulgato ᾧ βέλεται.
A. 10. παραδοῦναι] προδοῦναι Collat. Muret. Schott. Jannot. Anon. T. V. B. Mez. item ſupra Apophthegm. p. 192. A.
B. 4. περὶ αὐτὸν] Sic A. C. D. Moſc. 1. 2. Xyl. Vulgo, πρὸς αὐτόν.

promittentem eo nomine magnam vim pecuniæ, et Lacænæ mulieris quamcumque vellet matrimonium, negavit ab Hercule genus ducere; nam Herculem circumviſſe terras, ut malos interficeret: Archidamum conari de bonis malos facere. Ita nos quoque homini, qui vir bonus atque præclarus haberi velit, poſtulanti aliquid improbius et vim facienti dicemus, Indigna eum ſua nobilitate et virtute agere.

XVII. In vitioſis autem et hoc conſiderabis, an avarus tua importunitate poſſit eo adigi, ut talentum det mutuum abſque ſyngrapha: aut ambitioſus, ut primo loco cedat: aut magiſtratus gerendi cupidus, ut petitionem dignitatis omittat ſpe propoſita potiundi. Indignum quippe fuerit revera, cum videamus hos in vitioſis iſtis affectionibus, rigidos, invictos, immutabileſque, pertendere: nos, qui profitemur honeſti et juſtitiæ

εἴ) φιλοκάλους ἢ φιλοδοξάμους, μὴ κρατεῖν ἑαυτῶν, ἀλλ' ἀνατρέπεσθαι ἢ περιέλλειν τ' ἀρετώ. Καὶ γὰρ εἰ μὴ οἱ δυσωποῦντες, ὅτι δόξῃ ἢ δυνάμει τοῦτο ποιοῦσιν, ἄτοπόν ὅτι κοσμοῦντες ἑτέρους ἢ αὔξοντες, ἀχημονεῖν αὐτοὺς ἢ κακῶς ἀκούειν· ὥσπερ οἱ περιβεβλεύοντες ἐν τοῖς ἀγῶσι, ἢ χαριζόμενοι περὶ τὰς χειροτονίας, ἐξ οὗ προσκόπτων ἀρχεῖα ἢ στέφανος ἄλλοις ἢ δόξαν, ἀφαιρεῖται τὸ ἔνδοξον αὐτῷ ἢ τὸ καλόν. Εἰ δὲ χρημάτων ἕνεκα προσκείμενον ὁρῶμεν τὸν δυσωποῦντα, πῶς
D οὐ παράκαται δεινὸν εἶναι τὸ τῆς ἰδίας δόξης καὶ ἀρετῆς ἀφειδεῖν, ἵνα τὸ τοῦ δεῖνος βαλάντιον βαρύτερον γένηται; Καίτοι παράκαταί γε τοῖς πολλοῖς τὰ τοιαῦτα, καὶ οὐ λανθάνουσιν ἑαυτοὺς ἐξαμαρτάνοντες· ὥσπερ οἱ τὰς μεγάλας κύλικας ἐκπίνειν ἀναγκαζόμενοι, μόλις ἢ γένοντες, ἢ τὰ πρόσωπα διαστρέφοντες, ἐκτελοῦσι τὸ προσταττόμενον.

C. 4. ἀνατρέπεσθαι] Revocavi ex Ald. Baſ. Xyl. C. D. Moſc. 1. 2. Colleg. Nov. Vulgo, ἀνατρέπειν. Mox αὐτοὺς pro ἑαυτοὺς dedi ex Colleg. Nov.

C. 8. ἐξ οὗ προσκόπτων] Hoc quidem ſanum: ſed ad explendam ſententiam addendum νέμοντες vel ſimile: ut vidit et Reiſkius.

ſtudium, non eſſe noſtrum ipſorum compotes, ſed ſubverti et prodere virtutem. Etenim ſi qui poſcendo pudorem nobis volunt incutere, id faciunt gloriæ ac potentiæ parandæ gratia: abſurdum eſt nos ornandis augendiſque aliis, nobis ipſis dedecus et infamiam conficere: ſicut qui in certaminibus præmia injuſte tribuunt, et in deſignandis magiſtratibus ſuffragia ad gratiam ferunt: ii dum aliis perperam honores, coronas, et gloriam conciliant, ſeipſos bona opinione et honeſtate ſpoliant. Sin id pecuniæ cauſa faciunt, qui non videatur flagitium, noſtram nos gloriam et virtutem prodire, ut crumena alterius fiat onuſtior? Atqui hæc pleriſque ad animum accidunt, neque fallit ipſos peccare ſe: ſicut qui magna pocula ebibere coguntur, ægre et gementes vultumque diſtorquentes perficiunt mandatum.

